Ακαδημία Αθηνών / Academy of Athens

# O

**ὄαροι.** Λόγοι/τὰ λεγόμενα, words/discourse, Ἐμπεδοκλῆς 21.1 *ἀλλ' ἄγε, τόνδ' ὀ ά ρ ω ν προτέρων ἐπιμάρτυρα δέρκευ.*

**ὄγκος.** Ὄγκος/μάζα, volume/mass, Παρμενίδης 8.43 *εὐκύκλου σφαίρης ἐναλίγκιον ὄ γ κ ῳ, μεσσόθεν ἰσοπαλὲς πάντῃ* Ἐμπεδοκλῆς 20.1 *τοῦτο μὲν ἂν βροτέων μελέων ἀριδείκετον ὄ γ κ ο ν* 100.13 *οὐδεὶς ἄγγοσδ' ὄμβρος ἐσέρχεται, ἀλλά μιν εἴργει ἀέρος ὄ γ κ ο ς ἔσωθε πεσὼν ἐπὶ τρήματα πυκνά.*

**ὁδὸς 1.** Ὁδὸς/πορεία, road/route, Ἡράκλειτος 45 *ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁ δ ό ν· οὕτω βαθὺν λόγον ἔχει* 59 *γναφείῳ ὁ δ ὸ ς εὐθεῖα καὶ σκολιὴ ... μία ἐστὶ ... καὶ ἡ αὐτὴ* 60 *ὁ δ ὸ ς ἄνω κάτω μία καὶ ὡυτὴ* Παρμενίδης 1.2-5-27 *ἵπποι ταί με φέρουσιν, ὅσον τ' ἐπὶ θυμὸς ἱκάνοι, πέμπον, ἐπεί μ' ἐς ὁ δ ὸ ν βῆσαν πολύφημον ἄγουσαι δαίμονες ... τῇ φερόμην· τῇ γάρ με πολύφραστοι φέρον ἵπποι ἅρμα τιταίνουσαι, κοῦραι δ' ὁ δ ὸ ν ἡγεμόνευον ... ὦ κοῦρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν, ἵπποις ταί σε φέρουσιν ἱκάνων ἡμέτερον δῶ, χαῖρ', ἐπεὶ οὔτι σε μοῖρα κακὴ προὔπεμπε νέεσθαι τήνδ' ὁ δ ό ν (ἦ γὰρ ἀπ' ἀνθρώπων ἐκτὸς πάτου ἐστίν), ἀλλὰ θέμις τε δίκη τε.* || Δημόκριτος 230 *βίος ἀνεόρταστος μακρὴ ὁ δ ὸ ς ἀπανδόκευτος* **2.** Ὁδὸς/μέθοδος, way/method, Παρμενίδης 2.2 *εἰ δ' ἄγ' ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας, αἵπερ ὁ δ ο ὶ μοῦναι διζήσιός εἰσι νοῆσαι* 6.3 *τά σ' ἐγὼ φράζεσθαι ἄνωγα. πρώτης γάρ σ' ἀφ' ὁ δ ο ῦ ταύτης διζήσιος ⟨εἴργω⟩* 7.2-3 *ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁ δ ο ῦ διζήσιος εἶργε νόημα μηδέ σ' ἔθος πολύπειρον ὁ δ ὸ ν κατὰ τήνδε βιάσθω, νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν* 8.1-18 *μόνος δ' ἔτι μῦθος ὁ δ ο ῖ ο λείπεται ὡς ἔστιν ... τὴν μὲν ἐᾶν ἀνόητον ἀνώνυμον (οὐ γὰρ ἀληθὴς ἔστιν ὁ δ ό ς), τὴν δ' ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι.* Πρβλ. *κέλευθος, ἀτραπός.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ